## XXXVII

φεύγεθ' ὑπὲκ καλύβης, σκότιοι μύες· οὔτι πενιχρὴ
μῦς σιπύη βόσκειν οἶδε Λεωνίδεω.
αὐτάρκης ὁ πρέσβυς ἔχων ἅλα καὶ δύο κρίμνα·
ἐκ πατέρων ταύτην ᾐνέσαμεν βιοτήν.
τῷ τί μεταλλεύεις τοῦτον μυχόν, ὦ φιλόλιχνε,
οὐδ' ἀποδειπνιδίου γευόμενος σκυβάλου;
σπεύδων εἰς ἄλλους οἴκους ἴθι — τἀμὰ δὲ λιτά —
ὧν ἄπο πλειοτέρην οἴσεαι ἁρμαλιήν.

## XXXVIII

ἐκ τόκου, Εἰλείθυια, πικρὰν ὠδῖνα φυγοῦσα
Ἀμβροσίη κλεινῶν θήκατό σοι πρὸ ποδῶν
δεσμὰ κόμας καὶ πέπλον ἐν ᾧ δεκάτῳ ἐπὶ μηνί
δισσὸν ἀπὸ ζώνης κῦμ' ἐλόχευσε τέκνων.

## XXXIX

ἁ μάτηρ ζωὸν τὸν Μίκυθον οἷα πενιχρά
Βάκχῳ δωρεῖται ῥωπικὰ γραψαμένα.
Βάκχε, σὺ δ' ὑψώσῃς τὸν Μίκυθον· αἰ δὲ τὸ δῶρον
ῥωπικόν, ἁ λιτὰ ταῦτα φέρει πενία.

## XL

τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ μέχρι παλαιστῆς
καὶ σπιθαμῆς οὔλης Βίττιον εἰργάσατο,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415776481/158 UNIVERSITÄT LEIPZIG